**16.** Νὴ Δί' ἀλλὰ τοὺς πολλοὺς κινεῖ πρὸς τὰ πένθη καὶ
E τοὺς θρήνους ὁ ἄωρος θάνατος. ἀλλὰ καὶ οὗτος οὕτως ἐστὶν
εὐπαραμύθητος, ὥστε καὶ ὑπὸ τῶν τυχόντων ποιητῶν συνεωρᾶσθαι καὶ τετυχηκέναι παραμυθίας. θέασαι γὰρ οἷα περὶ τούτου φησὶ τῶν κωμικῶν τις πρὸς τὸν ἐπὶ τῷ ἀώρῳ λυπούμενον θανάτῳ (Com. adesp. 116)

'εἶτ' εἰ μὲν ᾔδεις †ὅττι τοῦτον τὸν βίον,
ὃν οὐκ ἐβίωσε, ζῶν διευτύχησεν ἄν,
ὁ θάνατος οὐκ εὔκαιρος· εἰ δ' ἤνεγκεν ⟨ἂν⟩
οὗτος ὁ βίος τι τῶν ἀνηκέστων, ἴσως
⟨ὁ θάνατος⟩ αὐτὸς σοῦ γέγονεν εὐνούστερος.'

ἀδήλου οὖν ὄντος πότερον συμφερόντως ἀνεπαύσατο τὸν βίον ἐκλιπὼν καὶ μειζόνων ἀπολυθεὶς κακῶν ἢ οὔ, χρὴ μὴ φέρειν
F οὕτω βαρέως ὡς ἀπολωλεκότας πάνθ' ὅσων ᾠήθημεν τεύξεσθαι
παρ' αὐτοῦ. οὐ φαύλως γὰρ ἂν δόξειεν ὁ παρὰ τῷ ποιητῇ Ἀμφιάραος παραμυθεῖσθαι τὴν Ἀρχεμόρου μητέρα δυσχεραίνουσαν ὅτι νήπιος ὢν ὁ παῖς καὶ ἄγαν ἄωρος ἐτελεύτησε. φησὶ γὰρ οὕτως (Eurip. Hyps. fr. 757. Suppl. Eur. fr. 60, 90)

'ἔφυ μὲν οὐδεὶς ὅστις οὐ πονεῖ βροτῶν
θάπτει τε τέκνα χἄτερα κτᾶται νέα,
αὐτός τε θνῄσκει· καὶ τάδ' ἄχθονται βροτοί |
111 εἰς γῆν φέροντες γῆν; ἀναγκαίως δ' ἔχει
βίον θερίζειν ὥστε κάρπιμον στάχυν,
καὶ τὸν μὲν εἶναι τὸν δὲ μή. τί ταῦτα δεῖ
στένειν, ἅπερ δεῖ κατὰ φύσιν διεκπερᾶν;
δεινὸν γὰρ οὐδὲν τῶν ἀναγκαίων βροτοῖς.'